| ἐφοβήθην [9] | διὰ | σὲ [10], | εἰ [11] | μὴ | ἤκουσα [12] |
| sido amedrentada | por | tí, | si | no | oí *hubiera oido* |

| | | |
|---|---|---|
| (ἀπὸ | σοῦ) | ὀγκωμένου [13]. |
| de | tí | rebuznando. *tu rebuzno.* |

---

[1] Ἐτύγχαν-ε, 3 pers. sing. de ἐτύγχαν-ον, ες, ε, imperf. de τυγχάνω, fut. τεύξομαι, que toma tiempos de τυχέω desus. de donde deriva.

[2] Προσακηκο-υῖα, nom. sing. fem. de προσακηκο-ὼς, υῖα, ὸς, forma at. por προηκο-ὼς, υῖα, ὸς, part. perf. act. de προακούω; de la prep. πρὸ, *delante, ante*, y ἀκούω, fut. ἀκούσομαι, *oigo.*

[3] Φθεγξαμένου, gen. sing. masc. de φθεγξάμεν-ος, η, ον, part. aor. 1. de φθέγγ-ομαι, med. de φθέγγω, fut. φθέγξομαι.

[4] Ἀλλὰ, conj. que se diferencia por el acento del plur. de ἄλλ-ος, η, ο que es ἄλλα.

[5] Ἴσθι, (sincopado de ἴσαθι), 2 pers. del pres. imper. de ἴσημι; formado de ἰσάω desus., de εἴδω, fut. εἴσω, *saber, ver.*

[6] Εὖ, adv.

[7] Ὡς, conj.

ἐπειρᾶτο καὶ ταύτην δειδίττεσθαι. Ἡ δὲ [ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα] πρὸς αὐτὸν ἔφη· ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

---

quiso tambien amedrentarla. — Esta, que le habia oido de antemano, le dijo: — Has de saber, que tambien te hubiera temido yo, si no hubieras rebuznado.

---

[8] Ἄν, partícula conjuntiva condicional que no tiene otra traduccion que la de la idea de condicion ó duda ó deseo que ella comunica á las palabras que acompaña.

[9] Ἐφοβήθην, 1 pers. sing. aor. 1. ind. de φοβ-οῦμαι, cont. de έομαι, pas. de φοβέω, fut. ήσω, que aqui se traduce como si fuese un optativo por razon de la partícula ἄν.

[10] Σὲ, ac. sing. del pron. de la 2 pers. σὺ, σοῦ.

[11] Εἰ. conj. que unida al adv. μὴ se traduce, *sino*.

[12] Ἤκουσα, 1 pers. sing aor. 1. ind. act. de ἀκούω, fut. ἀκούσω, aor. 1. ἐάκουσα, cont. ἤκουσα.

[13] Ὀγκωμέν-ου (cont. de ὀγκαομένου), gen. sing. masc. de ὀγκαόμεν-ος, η, ον, part. de pres. de ὀγκά-ομαι, fut. ήσομαι sin activa, aunque bajo su forma media tiene la significacion de activo

| | | | | |
|---|---|---|---|---|
| ἘΠΙΜΥ͂ΘΙΟΝ. | Ὁ | μῦθος | δηλοῖ | ὅτι |
| **Moralidad.** | La | fábula | manifiesta | que |

| | | | | |
|---|---|---|---|---|
| ἔνιοι[1] | τῶν | ἀπαιδεύτων[2] | δοκοῦντες[3] | εἶναι |
| una porcion | de los | ignorantes | aparentando | ser |

| | | | | |
|---|---|---|---|---|
| τινες | τοῖς | ἔξω[4], | ἐλέγχονται[5] | ὑπὸ[6] |
| algunos *algo* | á los | extraños, | son descubiertos | por |

| | | | |
|---|---|---|---|
| τῆς | ἰδίας[7] | γλωσσαλγίας[8] | (αὐτῶν). |
| la *su* | particular | locuacidad | de ellos. |

---

1 Ἔνιοι, nom. plur. masc. del pron. ἔνι-οι, αι, α, que carece de sing.; compuesto de ἔνι por ἔν-εστι ó ἔν-εισι, y οἱ plur. de ὅς, ἥ, ὅ.

2 Ἀπαιδεύτων, gen. plur. de ἀπαίδευτ-ος (ὁ, ἡ), ον (τὸ) adj.; de ἀ negat. y παιδεύω, fut. εύσω, *instruyo* de παῖς, *niño.*

3 Δοκοῦντες, nom. plur. masc. (cont. de έοντες) del part pres. act. de δοκέω, fut. δόξω, *creo, juzgo, parezco.*

4 Ἔξω, adv. que tiene la significacion sustantiva por el artículo que le precede mediante la elípsis del verbo οὖσι,

ἘΠΙΜΎΘΙΟΝ. Ὁ μῦθος δηλοῖ ὅτι ἔνιοι τῶν ἀπαιδεύτων, τοῖς ἔξω δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

---

**Moralidad.** Esta fábula manifiesta, que ciertos ignorantes, que parecen algo á los que no los conocen, por su mismo charlatanismo suelen al fin descubrirse.

---

*estan : oἱ ἔξω, los de afuera.*

[5] Ἐλέγχονται, 3 pers. plur. de ἐλέγχ-ομαι, pres. ind. pas. de ἐλέγχω, fut. ἐλέγξω, *descubro.*

[6] Ὑπὸ, prep. de gen., dat. y ac. con el primero significa *bajo, debajo:* con el dat. *en, con, hácia, miéntras ;* y con el ac. significa *proximidad, cerca, tras.*

[7] Ἰδίας, gen. sing. fem. del adj. ἴδι-ος, α, ον.

[8] Γλωσσαλγί-ας, gen. sing. de γλωσσαλγί-α (ἡ) *charlatanismo;* de γλῶσσ-α, ης, *lengua.*

# ΜΥΘΟΣ ΙΑ'.

## FABULA XI.

### ὌΡΝΙΣ ΚΑῚ ΧΕΛΙΔΏΝ.

### (LA) GALLINA Y (LA) GOLONDRINA.

| | | | |
|---|---|---|---|
| Ὄρνις[1] | εὑροῦσα[2] | ὠὰ[3] | ὄφεως[4], |
| (Una) gallina | habiendo hallado | (unos) huevos | de serpiente, |

| | | | |
|---|---|---|---|
| ἐκθερμάνασα[5] | (αὐτὰ) | ἐπιμελῶς[6], | ἐξεκόλαψε[7] |
| habiendo calentado | estos | cuidadosamente, | sacó<br>*los sacó* |

| | | | | |
|---|---|---|---|---|
| (αὐτά). | Δὲ | χελιδὼν[8] | θεασαμένη[9] | αὐτὴν, |
| estos. | Pero | (una) golondrina | habiendo visto | á ella, |

---

[1] Ὄρν-ις, nom. sing.; gen. ιθος (ἡ).

[2] Εὑρ-οῦσα, nom. sing. fem. de εὑρ-ὼν, οῦσα, ὀν, aor. 2. ind. act. de εὑρίσκω, fut. εὑρ-ήσω.

[3] Ὠὰ, ac. plur. de ὠ-ὸν, οῦ (τὸ).

[4] Ὄφ-εως, gen. sing. at. de ὄφ-ις; gen. jon. ιος (ὁ).

[5] Ἐκθερμάν-ασα, nom. sing. fem. de ἐκθερμάν-ας, ασα, αν, aor. 1. de ἐκθερμαίνω; de ἐκ prep. que añade fuerza á la significacion del verbo, y θερμαίνω, fut. θερμανῶ, *caliento*, de θέρμ-η, ης, *calor*.

## ΜΥ̃ΘΟΣ ΙΑ΄.

### ὌΡΝΙΣ ΚΑῚ ΧΕΛΙΔΏΝ.

Ὄρνις, ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. Χελιδὼν δὲ, θεασαμένη αὐτὴν, ἔφη·

---

## FABULA XI.

### LA GALLINA Y LA GOLONDRINA.

Habiendo encontrado una gallina los huevos de una serpiente, se echó sobre ellos y los sacó. — Una golondrina, que la habia visto, la dijo. ¿Crias,

---

6 Ἐπιμελ-ῶς, adv. cont. de ἐπιμελέως; del adj. ἐπιμελ-ής; gen. έος (para formar un adverbio se cambia la ο en ω): compuesto de la prep. ἐπὶ, *sobre*, y de μέλει, *es necesario*.

7 Ἐξεκόλαψε, 3 pers. sing. de ἐξεκόλαψ-α, ας, ε, aor. 1. ind. act. de ἐκκολάπτω; de ἐκ, que significa la salida, y κολάπτω, άψω, *casco*.

8 Χελιδ-ὼν, nom. sing.; gen. όνος (ἡ).

9 Θεασαμένη, nom. sing. fem. de θεασάμεν-ος, η, ον; part. aor. 1. de θεά-ομαι, fut. σομαι.

ἔφη · Ὦ ματαία[1], τί[2] τρέφεις[3] ταῦτα[4]
dijo : ¡ oh insensata ! ¿ por que alimentas esos

(ζῶα); ἅπερ[5] αὐξηθέντα[6] ἄρξεται[7]
animales que habiendo crecido comenzarán

τοῦ ἀδικεῖν[8] ἀπὸ σοῦ πρώτης[9].
el perjudicar por ti la primera ?

ΕΠΙΜΥΘΙΟΝ. Ὁ μῦθος δηλοῖ ὅτι ἡ
MORALIDAD. La fábula manifiesta que la

πονηρία[10] ἐστὶν ἀτιθάσσευτος[11], κἂν[12]
maldad es intratable, aun cuando

εὐεργετῆται[13] τὰ μέγιστα[14].
sea colmada de beneficios los mas grandes.

---

[1] Ματαία, voc. sing. fem. del adj. μάται-ος, α, ον; de μάτ-ην, adv. que sign. *en vano.*

[2] Τί, ac. sing. neut. del pron. τίς, τί; interrogativo, puesto que lo es segun se ha dicho yá, cuando lleva acento agudo.

[3] Τρέφ-εις, 2 pers. sing. del pres. ind. act. de τρέ-φω, fut. θρέψω.

[4] Ταῦτα, ac. plur. neut. del pron. dem. οὗτος, αὕτη, τοῦτο.

[5] Ἅπερ, nom. plur. neut. del pron. relat. ὅσπερ, ἥπερ, ὅπερ; de ὅς, ἥ, ὅ, y πὲρ que le da una fuerza afirmativa.

[6] Αὐξηθ-έντα, nom. plur. neut. de αὐξηθ-είς, εῖσα, ὲν, aor. 1. part. de αὐξάν-ομαι, pas. de αὐξάνω, fut. αὐξανῶ. que toma tiempos de sus primitivos αὐξέω y αὔξω, desus.

[7] Ἄρξ-εται, 3 pers. sing. de ἄρξομαι, fut. 1. ind. de ἄρχομαι, med. de ἄρχω, fut. ἄρξω; de ἀρχ-ή, ῆς, *principio.*

[8] Ἀδικεῖν (cont. de έειν), inf. pres. de ἀδικέω, ήσω, de α neg., y δίκ-η, ης, *justicia.*

ὦ ματαία, τί ταῦτα τρέφεις; ἅπερ αὐξηθέντα ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται.

ἘΠΙΜΥΘΙΟΝ. Ὁ μῦθος δηλοῖ ὅτι ἀτιθάσσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

---

oh insensata, á unos animales dañinos, que creciendo te harán acaso su primera víctima?

MORALIDAD. Esta fábula manifiesta que la benevolencia de los malos no se puede conservar, aunque se les colme de los mayores beneficios.

---

[9] Πρώτ-ης, gen. sing. fem. de πρῶτ-ος, η, ον; superl. de πρὸ, *antes*, (que es πρότατ-ος, άτη, ον, propiamente, pero que suprimiendo la τ de αοτος por contraccion se forma ῶτος).

[10] Πονηρία, nom. sing.; gen. ας (ἡ); de πόνηρ-ος, α, ον maligno, de πένομαι.

[11] Ἀτιθάσσευτ-ος, nom. sing. fem. del adj. ἀτιθάσσευτ-ος (ὁ, ἡ), ον (τὸ); de α neg. y τιθασσευτ-ὸς, adj. que significa *dulce*; de τιθασεύω ó τιθασσεύω, εύσω, *endulzo*.

[12] Κᾶν, conj. compuesta de καὶ y, y ἄν, *si*, que significa *aunque, dado que, aun cuando*.

[13] Εὐεργετ-ῆται, (cont. de έηται), 3 pers. sing. de εὐεργετ-έωμαι, pres. subjuntivo de εὐεργετ-έομαι, cont. en ῶμαι; pas. de εὐεργετέω, ήσω; de εὖ, *bien*, y ἔργον, ου (τὸ) *trabajo, accion*.

[14] Μέγιστα, ac. plur. neut. de μέγιστ-ος, η, ον; superl. irreg. de μέγας, άλη, α.

## ΜΥ͂ΘΟΣ ΙΒʹ.

### FABULA XII.

### ΜΥΙ͂ΑΙ[1].

### (LAS) MOSCAS.

| | | | |
|---|---|---|---|
| Μέλιτος[2] | ἐκχυθέντος[3] | ἐν[4] | τινι[5] |
| Miel | habiendo sido derramada | en | cierta |
| *Habiéndose derramado miel* | | | |

| | | | |
|---|---|---|---|
| ταμείῳ[6], | μυῖαι | προσπτᾶσαι[7] | κατήσθιον[8]. |
| despensa, | (las) moscas | haber volado | devoraban. |
| | | *volaron allí y* | |

| | | | | |
|---|---|---|---|---|
| Δὲ[9] | τῶν[10] | ποδῶν[11] | αὐτῶν[12] | ἐμπαγέντων[13], |
| Pero | los | pies | de ellas | habiendo sido pegados, |

[1] Μυῖαι, nom. plur. de μυῖα, ας (ἡ).

[2] Μέλιτος, gen. sing. de μέλ-ι, ιτος (τὸ).

[3] Ἐκχυθ-έντος, gen. sing. neut. de ἐκχυθ-είς, εῖσα, ἐν, part. aor. 1. pas. de ἐκχ-έω, fut. εύσω; de ἐκ, *de*, y χέω, fut. χεύσω, *derramar*.

[4] Ἐν, preposicion que rige dat.

[5] Ταμείῳ, dat. sing. de ταμεῖον, ου (τὸ), por ταμιε-ῖον, ου (τὸ).

[6] Τινι, dat. sing. neut. del pron. indefinido τὶς, τὶ.

[7] Προσπτᾶσαι, inf. aor. 2. de προσίπταμαι, fut. προσπτήσομαι; de πρὸς, *hácia*, y ἵπταμαι, fut. πτήσομαι, *volar*.

## ΜΥ͂ΘΟΣ ΙΒ΄.

### ΜΥΙ͂ΑΙ.

Ἐν τινι ταμείῳ μέλιτος ἐκχυθέντος, μυῖαι προσπτᾶσαι κατήσθιον. Ἐμπαγέντων δὲ τῶν ποδῶν

---

## FABULA XII.

### LAS MOSCAS.

Se derramó alguna miel en cierta despensa y volaron las moscas á comerla. Se pegaron de patas sin poder volarse, y ahogándose esclamaban:

---

[8] Κατήσθιον, 3 pers. plur. de κατήσθιον, ες, ε, imperf. ind. act. de κατεσθίω, fut. κατέδομαι; de κατὰ, que envuelve la idea de la avidez, y de ἐσθίω, ἔδομαι, comer.

[9] Δὲ, conj.

[10] Τῶν, gen. plur. del. art. ὁ, ἡ, τό.

[11] Ποδῶν, gen. plur. de πούς, ποδὸς (ὁ).

[12] Αὐτῶν, gen. plur. fem. del pron. dem. αὐτός, αὐτή, αὐτό.

[13] Ἐμπαγέντων, gen. plur. masc. de ἐμπαγείς, εῖσα, έν, part. aor. 2. pas. de ἐμπήγνυμι y ἐμπηγνύω, fut. ἐμπήξω; de ἐν, en, (que convierte la ν en μ antes de π y πήγνυμι, hundir, clavar.

(αὐταί[1]) οὐκ εἶχον[2] ἀναπτῆναι[3] δὲ
ellas no podian haberse volado y
volarse

ἀποπνιγόμεναι[4] ἔλεγον[5]; (ὦ) ἡμεῖς[6] ἄθλιαι[7]
ahogándose decian: ¡oh, nosotras miserables,

ὅτι ἀπολλύμεθα[8] διὰ[9] βρῶσιν[10] βραχεῖαν[11].
que perecemos por (un) alimento pequeño.

ΕΠΙΜΥΘΙΟΝ. ὁ μῦθος δηλοῖ ὅτι
MORALIDAD. La fábula manifiesta que

πολλοῖς[12] (ἀνθρώποις) ἡ λιχνεία[13] γίνεται[14]
para muchos hombres la gula resulta

αἰτία[15] πολλῶν[16] κακῶν[17].
la causa de muchos males.

---

[1] Αὐταί, nom. plur. fem. del pron. dem. αὐτ-ός, ή, ό.
[2] Εἶχον, 3 pers. plur. del imperf. ind. de ἔχω, fut. ἕξω y σχήσω.
[3] Ἀναπτῆναι, inf. aor. 1. med. de ἀνίπταμαι, fut. ἀναπτήσομαι; de ἀνὰ que significa movimiento de abajo para arriba, y ἵπταμαι, fut. πτήσομαι, volar, de πτάω por πετάω desus.
[4] Ἀποπνιγόμεναι, nom. plur. fem. de ἀποπνιγόμεν-ος, η, ον; part. pres. pas. de ἀποπνίγω, fut. ἀποπνίξομαι; de ἀπὸ que significa aquí la procedencia, el principio, y de πνίγω, ίξω, ahogar.
[5] Ἔλεγον, 3 pers. plur. de ἔλεγ-ον, ες, ε, imperf. ind. act. de λέγω, ἔξω.
[6] Ἡμεῖς, nom. plur. del pron. de la prim. pers. ἐγώ.
[7] Ἄθλιαι, nom. plur. fem. del adj. ἄθλι-ος (ὁ, ἡ), ον (τὸ) ὁ

αὐτῶν, ἀναπτῆναι οὐκ εἶχον. Ἀποπνιγόμεναι δ' ἔλεγον· ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα.

ἘΠΙΜΥ'ΘΙΟΝ. Ὁ μῦθος δηλοῖ ὅτι πολλοῖς ἡ λιχνεία πολλῶν κακῶν αἰτία γίνεται.

---

¡ay de nosotras infelices, que por un escaso alimento venimos á perecer!

Moralidad. Esta fábula manifiesta, que la gula acarrea frecuentemente muchos males.

---

ος, α, ον.

8 Ἀπολλύμεθα, 1 pers. plur. de ἀπόλλυμαι, pres. ind. med. de ἀπόλλυμι, fut. ολέσω ó ολέω, cont. ῶ; de ἀπὸ, por, y ὄλλυμι, arruinar, destruir, matar.

9 Διὰ, prep. de ac. y gen. *por*, *por causa de*.

10 Βρῶσιν, ac. sing. de βρῶσ-ις, εως (ἡ).

11 Βραχεῖαν, ac. sing. fem. del adj. βραχ-ὺς, εῖα, ύ.

12 Πολλοῖς, dat. plur. masc. del adj. πολὺς, πολλή, πολύ.

13 Λιχνεί-α, nom. sing. de λιχνεί-α, ας (ἡ).

14 Γίνεται, 3 pers. sing. de γίνομαι ó γίγνομαι, fut. γενήσομαι.

15 Αἰτία, nom. sing.; gen. ας (ἡ).

16 Πολλῶν, gen. plur. del adj. πολὺς, πολλή, πολύ.

17 Κακῶν, gen. plur. del adj. κακ-ὸς, ἡ, ὸν, tomado aqui substantivamente.

3.

## ΜΥ͂ΘΟΣ ΙΓ'.

### FABULA XIII.

### ΤΈΤΤΙΞ ΚΑῚ ΜΎΡΜΗΚΕΣ.

### (LA) CIGARRA Y (LAS) HORMIGAS.

| | | | | | | | |
|---|---|---|---|---|---|---|---|
| Τῶν | σίτων[1] | βραχέντων[2] | (ἐν | τῇ) | ὥρᾳ[3] | (τοῦ) | |
| Los | granos | mojados | en | la | estacion | del | |

| | | | | | | |
|---|---|---|---|---|---|---|
| χειμῶνος[4], | οἱ | μύρμηκες[5] | ἔψυχον[6] | (τοὺς | σίτους) | |
| invierno, | las | hormigas | secaban | los | granos. | |
| | | | *los socaban* | | | |

| | | | | |
|---|---|---|---|---|
| Δὲ | τέττιξ[7] | λιμώττων[8] | ᾔτει[9] | αὐτοὺς |
| Y | (una) cigarra | teniendo hambre | pedia | á aquella |

| | | | | | |
|---|---|---|---|---|---|
| τροφήν[10]. | Δὲ | οἱ | μύρμηκες | εἶπον[11] | αὐτῷ |
| alimento. | Pero | las | hormigas | dijeron | á aquel |

---

[1] Σίτ-ων, gen. plur. de σῖτ-ος, ου (ὁ).
[2] Βραχ-έντων, gen. plur. de βραχείς, εῖσα, ἐν, aor. 2. par pas. de βρέχω, ἕξω, que toma tiempos de βράχω.
[3] Ὥρ-ᾳ, dat. sing. de ὥρ-α, ας (ἡ).
[4] Χειμ-ῶνος, gen. sing. de χειμ-ὼν (ὁ); de χεῖμα, invierno.
[5] Μύρμ-ηκες, nom. plur. de μύρμ-ηξ, ηκος (ὁ).
[6] Ἔψυχ-ον, 3 pers. del plur. de ἔψυχ-ον, ες, ε, imperf. in aor. de ψύχ-ω, fut. ψύξω.
[7] Τέττ-ιξ, nom. sing.; gen. ιγος (ὁ).

## ΜΥ͂ΘΟΣ ΙΓ'.

### ΤΈΤΤΙΞ ΚΑῚ ΜΎΡΜΗΚΕΣ.

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων οἱ μύρμηκες ἔψυχον. Τέττιξ δὲ λιμώττων[8] ᾔτει[9] αὐτοὺς τροφήν[10]. Οἱ δὲ μύρμηκες εἶπον[11] αὐτῷ· Διὰ τί τὸ θέρος οὐ

## FABULA XIII.

### LA CIGARRA Y LAS HORMIGAS.

Secaban las hormigas sus provisiones, humedecidas por causa del invierno. — Una cigarra hambrienta les pidió de comer. — ¿ Y por que,

[8] Λιμώττ-ων, nom. sing. masc. del part. pres. act. de λιμώττω (at. de λιμώσσω), ώξω; de λιμ-ὸς, οῦ (ὁ, ἡ), *el hambre.*

[9] Ἤτ-ει (cont. de εε), 3 pers. sing. de ἤτ-εεν, εες, εε, cont. ων, εις, ει; imperf. act. de αἰτ-έω, ήσω, *ruego, pido.*

[10] Τροφ-ὴν, ac. sing. de τροφ-ὴ, ῆς (ἡ); de τέτροφα, perf. 2. de τρέφω.

[11] Εἶπ-ον (cont. de ἔεπον), 3 pers. plur. de εἶπ-ον, ες, ε, ind. aor. 2. de ἔπω, desusado.

Διὰ τί οὐ συνῆγες[1] τροφὴν κατὰ τὸ θέρος[2];
¿Por que no juntabas alimento en el verano?

Δὲ ὁ εἶπεν[3]· οὐκ ἐσχόλαζον[4], ἀλλὰ ᾖδον[5]
Y ella dijo: no tenia tiempo, pues cantaba

μουσικῶς[6]. Δὲ αἱ γελάσαντες[7]
melodiosamente. Pero aquellas habiendo reido

εἶπον· ἀλλὰ εἰ[8] ηὔλεις[9] (ἐν ταῖς) ὥραις[10]
dijeron: pues si cantabas en las horas

θέρους[11], ὀρχοῦ[12] (ἐν τῇ ὥρᾳ) χειμῶνος[13].
del estio, baila en la estacion del invierno.

ἘΠΙΜΎΘΙΟΝ. Ὁ μῦθος δηλοῖ ὅτι οὐ
MORALIDAD. La fábula demuestra que no

---

[1] Συνῆγ-ες (cont. de συνέαγες), 2 pers. sing. de συνέαγ-ον, cont. συνῆγ-ον; imperf. act. de συνάγω, άξω; de σὺν, *con*, y ἄγω, *llevo*.

[2] Θέρ-ος, ac. sing. gen. εος, cont. ους (τό); de θέρω, fut. θέρσω, *caliento*.

[3] Εἶπεν, 3 pers. sing. de εἶπον, ες, ε (con una ν agregada por eufonia.)

[4] Ἐσχόλαζ-ον, 1 pers. sing. imperf. act. de σχολάζω, fut. άσω; de σχολή, *ocio*.

[5] Ἦδ-ον (cont. de ἄειδ-ον), 1 pers. sing. imperf. ind. act. de ἀείδω que hace la contraccion de αει en α y suscribiéndose la ι ᾄδω, fut. ᾄσω.

[6] Μουσικῶς, adv. del adj. μουσικ-ός, ή, όν, *melodioso*.

συνῆγες τροφήν; ὁ δὲ εἶπεν· οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. Οἱ δὲ γελάσαντες εἶπον· ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.

'ΕΠΙΜΥΘΙΟΝ. Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ τινα

---

le dijeron las hormigas, no hiciste provision durante el verano? — Me faltaba el tiempo, respondió la cigarra, para cantar melodiosamente. — Y las hormigas riendo le replicaron entonces: pues si cantabas en el estío, baila en el invierno.

MORALIDAD. Esta fábula manifiesta que no debe

---

7 Γελάσ-αντες, nom. plur. masc. de γελάσ-ας, ασα, αν, aor. 1. part. act. de γελάω, fut. γελάσομαι, rara vez άσω y dórico άξω.

8 Εἰ, conj.

9 Ηὔλ-εις (cont. de ἐαύλεες), 2 pers. sing. de ἐαύλεον, εες, εε, cont. ηὔλ-ουν, εις, ει, imperf. act. de αὐλέω, ήσω, de αὐλ-ός, οῦ, *flauta*.

10 Ὥραις, dat. plur. de ὥρ-α. ας (ἡ).

11 Θέρ-ους, gen. sing. (cont. de εος) de Θέρ-ος.

12 Ὀρχ-οῦ (cont. de έου, de εεο, de έεσο por síncopa de la σ) 2 pers. del imperat. de ὀρχ-έομαι, οῦμαι, fut. ήσομαι, sin forma act.

13 Χειμ-ῶνος, gen. sing. de χειμ-ὼν (ὁ).

| | | | | | |
|---|---|---|---|---|---|
| *δεῖ*[1] | *τινα* | *ἀμελεῖν*[2] | (*οὐδὲν*) | *ἐν* | *παντὶ*[3] |
| conviene | á alguno | descuidar | nada | en | toda |
| | *á nadie* | | *cosa alguna* | *en* | *nada,* |

| | | | | |
|---|---|---|---|---|
| *πράγματι*[4], | *ἵνα* | *μὴ*[5] | *λυπηθῇ*[6] | *καὶ* |
| | á fin de que | no | sea afligido | y |

*κινδυνεύσῃ*[7].
caiga en peligro.

---

[1] Δεῖ (cont. de έει), 3 pers. ind. de pres. de δέω impers., fut. δεήσει, imperf. ἔδει, aor. ἐδέησε, part. pres. δέον, inf. δεῖν, subj. δέῃ.

[2] Ἀμελ-εῖν (cont. de έειν), pres. inf. act. de ἀμελέω-ήσω; de α negativa y μέλει impers. que significa, *se tiene cuidado.*

[3] Παν-τί, dat. sing. del adj. πᾶς, πᾶσα, πᾶν.

[4] Πράγματι, dat. sing. de πρᾶγμ-α, ατος (τὸ), de πράττω ó

ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

omitirse nada en ningun asunto, para evitar que sobrevenga el tiempo de afliccion y de peligro.

πράσσω, fut. άξω, *hago*.

[5] Μὴ, adv. neg.

[6] Λυπηθῇ, 3 pers. sing. de λυπηθ-ῶ-ῇς, ῇ, aor. 1. subj. de λυπ-έομαι, pas. de λυπέω, de λύπη, *afliccion*.

[7] Κινδυνεύσῃ, 3 pers. sing. de κινδυνεύσω, aor. 1. subj. act. de κινδυνεύω, εύσω; de κίνδυν-ος, ου, *riego*.

# ΜΥΘΟΣ ΙΔʹ.

## FABULA XIV.

### ΚΥΩΝ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.

### (EL) PERRO Y (EL) COCINERO.

| | | | |
|---|---|---|---|
| Κύων[1] | εἰσπηδήσας[2] | εἰς[3] | μαγειρεῖον[4], |
| (Un) perro | habiendo saltado | en | (una) cocina, |

| | | | |
|---|---|---|---|
| καὶ | τοῦ | μαγείρου[5] | ἀσχολουμένου[6], |
| y | el | cocinero | estando ocupado, |

| | | | |
|---|---|---|---|
| ἁρπάσας[7] | καρδίαν[8] | ἔφυγεν[9]. | Δέ[10] |
| habiendo arrebatado | (un) corazon | huyó. | Y |

---

1 Κυων, nom. sing.; genit. κύ-ονος y sincopado κυνὸς (ὁ).

2 Εἰσπηδήσας, nom. sing. masc. part. aor. 1. act. de εἰσπηδάω-ήσω; de la prep. εἰς, *en*, y πηδάω, *salto*.

3 Εἰσ, prep. de acusativo.

4 Μαγειρεῖον, acus. sing. de μαγειρεῖ-ον, ου (τὸ): de μάγειρος.

5 Μαγείρ-ου, gen. sing.; nom. μάγειρ-ος.

6 Ἀσχολουμένου, gen. sing. masc. de ἀσχολούμεν-ος, η, ον, part.

## ΜΥΘΟΣ ΙΔ'.

### ΚΥΩΝ ΚΑΙ ΜΑΓΕΙΡΟΣ.

Κύων εἰσπηδήσας εἰς μαγειρεῖον, καὶ τοῦ μαγείρου ἀσχολουμένου, καρδίαν ἁρπάσας ἔφυγεν. Ὁ

## FABULA XIV.

### EL PERRO Y EL COCINERO.

Un perro entró en una cocina á tiempo que estaba ocupado el cocinero, y se llevó un corazon.

pres. de ἀσχολ-οῦμαι, med. de ἀσχολέω, ήσω.

[7] Ἁρπάσας, nom. sing. masc. aor. 1. part. act. de ἁρπάζω-άσω.

[8] Καρδίαν, acus. sing. de καρδί-α, ας (ἡ).

[9] Ἔφυγεν (la ν por enfonía), 3 pers. sing. aor. de φεύγω, fut. φεύξω ó φεύξομαι.

[10] Δὲ, conj. que significa, *mas, pero, y.*

ὁ μάγειρος, ἐπιστραφεὶς[1], ὡς[2] εἶδεν[3] αὐτὸν
el cocínero habiéndose vuelto, como vió á él

φεύγοντα[4], εἶπεν[5]· ὦ οὗτος, ἴσθι[6], ὡς
huyendo dijo : ¡ O tú ! ten entendido, que

ὅπου περ ἂν[7] ᾖς[8] φυλάξομαι[9] σε[10]
endonde quiera que estuvieres me guardare hácia ti ;
*da t*

γὰρ[11] οὐ[12] εἴληφας[13] καρδίαν[14] ἀπ'[15]
pues no has quitado un corazon de
*me has quitado el corazon,*

ἐμοῦ[16], ἀλλὰ[17] δέδωκας[18] καρδίαν ἐμοί[19].
mí, sino has dado un corazon á mí.
*sino que me lo has dado.*

---

1 Ἐπιστραφείς, nom. sing. masc. aor. 1. part. pas. de ἐπιστρέφω ; de ἐπί, *hácia*, y στρέφω, *vuelvo, torno.*

2 Ὡς, conj. *como, lo mismo que, asi que, que.*

3 Εἶδεν (la ν por enfonía), 3 pers. sing. aor. 2. act. de εἴδ .

4 Φεύγοντα, ac. sing. masc. part. pres. act. de φεύγω, fu φεύξομαι.

5 Εἶπεν (la ν por enfonía), 3 pers. sing. aor ind. de εἴπω.

6 Ἴσθι, 2 pers. sing. imperat. del verbo ἴσημι ; de ἰσάω, qu viene tambien de εἴδω, fut. εἴσω, *ver, saber.*

7 Ὅπου-περ-ἄν, conj. compuesta que rije optat. ó subjuntivo.

8 Ἧς, 2 pers. sing. pres. subj. de εἰμί.

9 Φυλάξομαι, prim. pers. sing. fut. 1. med. de φυλάσσω, ó φυλάττω-άξω.

δὲ μάγειρος ἐπιστραφεὶς, ὡς εἶδεν αὐτὸν φεύγοντα, εἶπεν· ὦ οὗτος, ἴσθι, ὡς ὅπου περ ἂν ᾖς, φυλάξομαι σέ· οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας. ἀλλ' ἐμοὶ καρδίαν δέδωκας.

---

— Volvióse el cocinero y viendo al perro que huia, le dijo : Yo te aseguro que donde quiera que estés me guardaré de tí : de modo que, robándome ese corazon, me has dado á mí un corazon.

---

10 Σε, ac. sing. del pron. pers. σύ.
11 Γὰρ, conjuncion que siempre se usa despues de otra palabra.
12 Οὐ, adv neg.
13 Εἴληφας, 2 pers. sing. perf. act. del verbo λαμβάνω.
14 Καρδίαν, 8.
15 Ἀπὸ, prep. que rige genitivo (pierde la vocal final por apóstrofo).
16 Ἐμοῦ, gen. sing. del pron. pers. ἐγώ.
17 Ἀλλὰ, adv. *(por el contrario)*, y conjun. como aquí lo c *(mas, pero, sino)*.
18 Δέδωκας, 2 pers. sing. perf. act. del uerbo δίδωμι.
19 Ἐμοί, dat. sing. del pron. pers. ἐγώ.

| | | | | | | |
|---|---|---|---|---|---|---|
| ἘΠΙΜΎΘΙΟΝ. | Ὁ | μῦθος | δηλοῖ, | ὅτι | τὰ |
| MORALIDAD. | La | fábula | manifiesta | que | los |

| | | | |
|---|---|---|---|
| παθήματα[1] | γίνεται[2] | πολλάκις[3] | μαθήματα[4] |
| padecimientos | resultan | frecuentemente | lecciones |
| | | | *de los padecimientos* |

| | |
|---|---|
| τοῖς | ἀνθρώποις[5]. |
| para los | hombres. |

---

[1] Παθήματα, nom. plur. de πάθημα-ατος (τὸ); de πάσχω, fut. πείσομαι, *siento, padezco, sufro.*

[2] Γίνεται, 3 pers. sing. pres. ind. de γίνομαι, ó γίγνομαι, fut. γενήσομαι (úsase poner el verbo en singular concertando con plural neutro).

ἘΠΙΜΥΘΙΟΝ. Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνεται.

---

Moralidad. Esta fábula manifiesta, que los contratiempos suelen convertirse en lecciones útiles para los hombres.

---

[3] Πολλάκις, adv. á menudo, muchas veces, frecuentemente.

[4] Μαθήματα, nom. plur. neut. de μάθημα-ατος (τὸ); de μανθάνω, fut. μαθήσομαι, aprendo, conozco.

[5] Ανθρώποις, dat. plur. de ἄνθρωπ-ος, ου (ὁ).

## ΜΥ͂ΘΟΣ ΙΕ'.

### FABULA XV.

### ὌΡΝΙΣ[1] ΧΡΥΣΟΤΟΚΟΣ[2].

### (LA) GALLINA PONEDERA DE HUEVOS DE ORO.

| | | | | |
|---|---|---|---|---|
| Τις | (ἄνθρωπος) | εἶχεν[3] | ὄρνιθα[4] | τίκτουσαν[5] |
| Un | hombre | tenia | (una) gallina | poniendo *que ponia* |
| ὠὰ | χρυσᾶ[6]· | καὶ | νομίσας[7] | ὄγκον[8] |
| huevos | aureos; *de oro* | y | habiendo pensado | una masa *que una masa* |

---

[1] Ορν-ις, nom. sing.; gen. ιθος (ὁ, ἡ) cuando significa el ave.

[2] Χρυσοτόκος, nom. sing. fem. de χρυσοτόκ-ος (ὁ, ἡ), adj., formado de χρύσ-ος, ου (oro), y de τέτοκα, perf. 2. ind. de τίκτω, *dar á luz, parir, producir.* El adjetivo asi formado significa el ó la que produce oro, llevando el acento sobre la pénúliima sílaba; pero con el acento sobre la antepenúltima, significa el ó la producida por el oro.

[3] Εἶχ-εν, 3 pers. sing. de εἶχ-ον, ες, ε, imperf. ind. act. de ἔχω, fut. ἕξω y σχήσω, aor. 2. ἔσχον, (que hacen el presente de imper. σχὲς), perf. ἔσχηκα. La ν que lleva al fin esta tercera persona es agregado por euf.

## ΜΥΘΟΣ ΙΕ'.

### ΟΡΝΙΣ ΧΡΥΣΟΤΟΚΟΣ.

Ὄρνιθά τις εἶχεν ᾠὰ χρυσᾶ τίκτουσαν· καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας

---

## FABULA XV.

### LA GALLINA PONEDERA DE HUEVOS DE ORO.

Cierto hombre tenia una gallina que ponia huevos de oro; y creyendo que dentro de ella se

---

[4] Ὄρνιθα, ac. sing. de ὄρνις. Algunos sustantivos terminados en ις, υς, ους, hacen el acusativo en α y en ν, y asi se dice ὄρνιθα ó ὄρνιν en el acusativo.

[5] Τίκτ-ουσαν, ac. sing. fem. de τίκτων, ουσα, ον, pres. part. act. de τίκτω, fut. τέξω y mas bien τέξομαι, aor. 2. ἔτεκον, perf. τέτοκα, perf. pas. τέτεγμαι ó τέτυγμαι, aor. pas. ἐτέχθην, *parir, engendrar, producir.*

[6] Χρυσ-ᾶ (cont. de εα), ac. plur. neut. del adj. χρύσ-εος, έα, εον, cont. οῦς, ῆ, οῦν; de χρυσ-ός, οῦ, *oro.*

[7] Νομίσ-ας, nom. sing. aor. 1. part. act. de νομίζω-ίσω.

[8] Ὄγκ-ον, ac. sing. de ὄγκ-ος, ου (ὁ).

| | | | | |
|---|---|---|---|---|
| χρυσίου[1] | εἶναι[2] | ἔνδον[3] | αὐτῆς, | κτείνας[4] |
| de oro | existir | dentro | de ella, | habiendo matado |
| *de oro existia* | | | | |

| | | | | |
|---|---|---|---|---|
| (αὐτὴν) | εὕρηκεν[5] | (αὐτὴν) | ὁμοίαν[6] | τῶν |
| á ella | encontró | á ella | semejante | á las |

| | | | | |
|---|---|---|---|---|
| λοιπῶν[7] | ὀρνίθων[8]. | Δὲ | ὁ | (ἄνθρωπος) |
| otras | gallinas. | Pero | el | hombre |

| | | |
|---|---|---|
| ἐλπίσας[9] | εὑρήσειν[10] | πλοῦτον[11] |
| habiendo esperado | haber hallado | (una) riqueza |

| | | | |
|---|---|---|---|
| ἀθρόον[12] | ἐστέρηται[13] | ἐκείνου[14] | μικροῦ[15] |
| encerrada, | fué privado | de aquella | pequeña |

| |
|---|
| (πλούτου). |
| riqueza. |

---

[1] Χρυσί-ου, gen. sing. de χρυσί-ον (τὸ); de χρυσ-ὸς, lo mismo.

[2] Εἶναι, inf. pres. de εἰμί.

[3] Ἔνδον, adv. que equivale á una prep. y rige genitivo; de ἐν, *en*.

[4] Κτείν-ας, nom. sing. masc. aor. 1. part. act. de κτείνω, fut. κτενῶ (y jónico κτανῶ); siempre conservando la ν radical, siendo principio general que los verbos en λω, μω, νω, ρω, conservan en el futuro la figurativa λ, μ, ν, ó ρ, del presente.

[5] Εὕρηκ-εν, 3 pers. sing. de εὕρηκ-α, ας, ε, perf. ind. act. de εὑρίσκω, fut. εὑρήσω. (No admiten aumento temporal los verbos que comienzan por los diptongos ει y ευ sino alguna vez, en el dialecto act. Ej. ηὐχόμην, ἤκαζον, de εὔχομαι, εἰκάζω, *ruego, imagino*.

εὕρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. Ὁ δὲ ἀθρέον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

---

encerraba una masa de este metal la mató, y la halló semejante á las demas gallinas.— De modo que por haber ambicionado una gran riqueza, perdió la pequeña que poseía.

---

[6] Ὁμοί-αν, ac. sing. fem. del adj. ὅμοι-ος, α, ον; de ὁμ-ὸς, ἡ, ὸν lo mismo.

[7] Λοιπ-ῶν, gen. plur. del adj. λοιπ-ὸς, ἡ, ὸν.

[8] Ὀρνίθ-ων, gen. plur. de ὄρν-ις.

[9] Ἐλπίσ-ας, nom. sing. masc. aor. 1. part. act. de ἐλπίζω, fut. ίσω; de ἐλπ-ὶς, ίδος (ἡ) esperanza.

[10] Εὑρήσ-ειν, fut. 1. inf. act. de εὑρίσκω.

[11] Πλοῦτ-ον, ac. sing. de πλοῦτ-ος, ου (ὁ).

[12] Ἀθρέ-ον, ac. sing. masc. del adj. ἀθρό-ος, η, ον.

[13] Ἐστέρ-ηται, 3 pers. sing. de ἐστέρ-ημαι, ησαι, ηται, perf. de στερ-έομαι, pas. de στερέω, ήσω, despojo.

[14] Ἐκείν-ου, gen. sing. masc. del pron. dem. ἐκεῖν-ος, η, ο.

[15] Μικρ-οῦ, gen. sing. masc. del adj. μικρ-ὸς, ἡ, ὸν.

| | | | | |
|---|---|---|---|---|
| ἘΠΙΜΥΘΙΟΝ. | Ὁ | μῦθος | δηλοῖ, | ὅτι |
| MORALIDAD. | La | fábula | demuestra | que |

| | | | | |
|---|---|---|---|---|
| δεῖ | ἀρκεῖσθαι[1] | τοῖς | (ἀγαθοῖς[2]) | παροῦσιν[3], |
| es menester | contentarse | (con) los | bienes | presentes, |

| | | | |
|---|---|---|---|
| καὶ | φεύγειν[4] | τὴν | ἀπληστίαν[5]. |
| y | evitar | la | codicia. |

---

[1] Ἀρκ-εῖσθαι (cont. de έεσθαι), pres. inf. de ἀρκ-έομαι, pas. de ἀρκέω, έσω. Hace el futuro en έσω y no en ήσω, como regularmente lo hacen los verbos contractos en εω, que cambian la ε en η.

[2] Ἀγαθ-οῖς, dat. plur. neut. del adj. ἀγαθ-ὸς, ή, όν, tomado aqui sustantivamente en la significacion de *posesion, peculio, bien.*

[3] Παροῦσιν (la ν final es agregada por eufonía), dat. plur.

ἘΠΙΜΥ'ΘΙΟΝ. Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληστίαν φεύγειν.

---

**Moralidad.** Esta fábula demuestra, que debe cada uno estar contento con los bienes que posee, sin entregarse á la codicia.

---

neut. de παρ-ὼν, οῦσα, ὸν, pres. part. de πάρειμι; de παρὰ, *cerca*, y εἰμί, *estoy* ó *soy*.

[4] Φεύγ-ειν, pres. inf. act. de φεύγω, fut. φεύξω ó φεύξομαι, aor. ἔφυγον, *huigo*, *me escapo*.

[5] Ἀπληστί-αν, ac. sing. de ἀπληστί-α, ας (ἡ); de α privativa, y de πέπλησται, 3 pers. sing. de πέπλησμαι, perf. ind. pas. de πλήθω, ήσω, *lleno*. Tiene la forma poética πέπληθα para el perf., pero con significacion de pres.

## ΜΥ͂ΘΟΣ Ιϛʹ.

### FABULA XVI.

## ΚΟΛΟΙῸΣ ΚΑῚ ΠΕΡΙΣΤΕΡΑΙ'.

### (EL) GRAJO Y (LAS) PALOMAS.

| | | | | |
|---|---|---|---|---|
| Κολοιὸς[1] | ἰδὼν[2] | ἐν | τινι | περιστερεῶνι[3] |
| (Un) grajo | habiendo visto | en | cierto | palomar |

| | | |
|---|---|---|
| περιστερὰς[4] | τρεφομένας[5] | καλῶς[6], |
| (las) palomas | siendo alimentadas | bien, |

| | | | |
|---|---|---|---|
| λευκάνας[7] | ἑαυτὸν | ἦλθεν[8] | ὡς |
| habiendo teñido de blanco | á sí mismo | fué, | como |
| *habiéndose teñido de blanco* | | | |

[1] Κολοι-ὸς, nom. sing.; gen. οῦ (ὁ).
[2] Ἰδ-ὼν, nom. sing. aor. 2. part. act. de εἴδω, veo.
[3] Περιστερε-ῶνι, dat. sing. de περεστερε-ὼν, ῶνος (ὁ); de περιστερ-ὰ, ᾶς (ἡ).
[4] Περιστερ-ὰς, ac. plur. de περιστερ-ὰ, ᾶς (ἡ).
[5] Τρεφομένας, ac. plur. fem. de τρεφόμεν-ος, η, ον, pres. part. de τρέφ-ομαι, pas. de τρέφω, fut. θρέψω.

## ΜΥ͂ΘΟΣ ΙϚʹ.

### ΚΟΛΟΙΟ'Σ ΚΑΙ' ΠΕΡΙΣΤΕΡΑΙ'.

Κολοιὸς, ἔν τινι περιστερεῶνι περιστερὰς ἰδὼν καλῶς τρεφομένας, λευκάνας ἑαυτὸν, ἦλθεν, ὡς

## FABULA XVI.

### EL GRAJO Y LAS PALOMAS.

Habiendo visto un grajo, que estaban bien alimentadas las palomas en cierto palomar, se pintó

[6] Καλῶς, adv. del adj. καλ-ὸς, ἡ, ὸν (para formar el adv. se cambia la ο del adj. en ω).
[7] Λευκάνας, nom. sing. aor. 1. part. act. de λευκαίνω, fut. λευκανῶ; de λευκ-ὸς, ἡ, ὸν, *puro, claro, blanco.*
[8] Ἦλθεν (la ν final por eufonía), 3 pers. sing. de ἦλθ-ον, sincopado de ἤλυθ-ον, ες, ε, aor. 2. ind. act. de ἔρχομαι.

αὐτὸς καὶ μεταληψόμενος[1] τῆς αὐτῆς
él tambien habiendo de participar del mismo

διαίτης[2]. Δὲ αἱ μὲν μέχρι[3]
alimento. Y ellas ciertamente mientras

ἡσύχαζεν[4], οἰόμεναι[5] αὐτὸν εἶναι περιστερὰν,
callaba, creyendo él ser paloma,

προσίεντο[6] (αὐτὸν πρὸς αὐτάς). Δὲ ἐπεὶ[7]
admitian (á él entre ellas). Pero así que

ποτε[8] ἐκλαθόμενος[9] ἐφθέγξατο[10],
una vez habiéndose olvidado gritó,

τηνικαῦτα[11] γνοῦσαι[12] τὴν φύσιν αὐτοῦ,
entonces conociendo la naturaleza de él,

---

[1] **Μεταληψ-όμενος**, nom. sing. masc. fut. 1. part. med. de μεταλαμβάνω; de μετὰ, *con, entre*, y λαμβάνω, *tomo*.

[2] Διαίτ-ης, gen. sing. de δίαιτα (ἡ).

[3] Μέχρι, conj. *mientras, en tanto que*.

[4] Ἡσύχαζ-εν (la ν agregada por euf.), 3 pers. sing. de ἡσύχαζ-ον, ες, ε, imperf. act. de ἡσυχάζω-άσω; de ἥσυχ-ος (ὁ, ἡ) *tranquilo*.

[5] Οἰόμεναι, nom. plur. fem. de οἰόμεν-ος, η, ον, pres. part. de οἴομαι, de οἴω en la voz med.

[6] Προσίεντο, 3 pers. plur. de προσι-έμην, εσο, ετο; imperf. ind. de προσί-εμαι, fut. προσ-ήσομαι; voz med. de προσ-ίημι; de πρὸς, *hácia*, y ἵημι, *envio*, fut. ἥσω.

[7] Επεὶ, conj. de ind., y con el inf. algunas veces en la sig-

καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος. Αἱ δὲ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι, προσίεντο. Ἐπεὶ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν,

---

de blanco y se mezcló con ellas, para participar del alimento.—Mientras guardó silencio, creyéndole paloma, le dejaron entre ellas. — Pero gritó una vez por descuido, y reconociendo que no era de la especie de ellas, lo espantaron á picotazos.

---

nificacion de *siempre que.*

[8] Ποτε, adv.

[9] Ἐκλαθόμενος, nom. sing. masc. aor. 2. part. de ἐκλανθάνομαι, med. de ἐκλανθάνω, fut. ἐκλήσω; de ἐκ y λανθάνω, fut. λήσω y λήσομαι, *me escondo.*

[10] Ἐφθέγξατο, 3 pers. sing. de ἐφθεγξάμην, aor. 1. ind. de φθέγγομαι, med. de φθέγγω, fut. φθέγξομαι.

[11] Τηνικαῦτα, adv. que tiene la misma significacion que τηνίκα.

[12] Γνοῦσαι, nom. plur. fem. de γνοὺς, γνοῦσα, γνόν; aor. 2. part. act. de γνώσκω, fut. γνώσομαι, cuya raiz es γνόω desus. de que toma el imperf. y aor. 2. γιγνώσκω.

ἐξήλασαν[1] (αὐτὸν) παίουσαι[2] (αὐτόν). Καὶ ὃς
arrojaron á él golpeando á él. Y él
*le espantaron á golpes.*

ἀποτυχὼν[3] τῆς τροφῆς ἐνταῦθα[4], ἐπανῆκε[5]
habiendo carecido del alimento allí, volvía

πρὸς πάλιν[6] τοὺς κολοιούς. Κἀκεῖνοι[7], οὐκ
hácia tras los grajos. Y estos, no

ἐπιγνόντες[8] αὐτὸν διὰ τὸ χρῶμα[9], ἀπεῖρξαν[10]
reconociendo á él por el color, repelieron

(αὐτὸν) τῆς διαίτης μετὰ[11] αὐτῶν[12] ὥστε[13]
á él del alimento con ellos, de modo que

---

[1] Ἐξήλασαν, 3 pers. plur. de ἐξήλασ-α, ας, ε, aor. 1. ind. act. de ἐξελαύνω, fut. ἐξελάσω; de ἐξ, *fuera*, y de ἐλαύνω, ἐλάσω, *pongo en movimiento.*

[2] Παίουσαι, nom. plur. fem. de παίων, παίουσα, παίον, pres. part. act. de παίω, fut. παιήσω y rara vez ίσω, *pego*, *golpeo*, *pico.*

[3] Ἀποτυχὼν, nom. sing. masc. aor. 2. part. act. de ἀποτυγχάνω; de ἀπὸ y τυγχάνω, fut. τεύξομαι, aor. ἔτυχον, perf. τετύχηκα, *alcauzo*, cuya raiz es τύχω, des.

[4] Ἐνταῦθα, adv. de ἔνθα, *alli.*

[5] Ἐπανῆκε, 3 pers. sing. de ἐπανῆκ-ον, ες, ε, imperf. ind. act. de ἐπανήκω, ήξω; de ἐπὶ y ἀνὰ, que juntas las dos prep. significan la vuelta, y ἥκω, *vengo*, *llego.*

[6] Πάλιν, adv.

[7] Κἀκεῖνοι, nom. plur. masc. del pron. κἀκεῖν-ος, η, ο; de καὶ, conj. y ἐκεῖν-ος, η, ο, *aquel*, *aquella*, *aquello.*

ἐξήλασαν παίουσαι. Καὶ ὅς, ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς, ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν. Κἀκεῖνοι, διὰ τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες, τῆς μεθ'

---

— No hallando, pues, arbitrio para seguir entre las palomas, se volvió á los grajos.— Estos le repelieron tambien de su lado, porque le desconocian á causa del color blanco; de modo que,

---

[8] Ἐπιγνόντες, nom. plur. masc. de ἐπιγν-ούς, οῦσα, όν, aor. 2. part. act. de ἐπιγνώσκω; de ἐπὶ y γιγνώσκω.

[9] Χρῶμα, ac. sing. de χρῶμ-α, ατος (τὸ); de κέχρωμαι, perf. pas. de χρόω, *coloro*, de χρό-α, ας (ἡ), *la color*.

[10] Ἀπεῖρξ-αν, 3 pers. plur. de ἀπεῖρξ-α, ας, ε, aor. 1. ind. act. de ἀπείργω; de ἀπὸ, *de*, y εἴργω, ξω, *alejo*, *ahuyento*. En ἀπεῖρξαν; el acento circunflejo indica que hay una contraccion, nacida del aumento con las iniciales del verbo.

[11] Μετὰ, preposicion de gen. y de ac. suprimiéndose la ὰ final por apóstrofo, como se ve en el testo, resulta μεθ' que cambia, por razon de la aspiracion ruda del diptongo inicial de la palabra siguiente, la fuerte τ, en la aspirada θ.

[12] Αὐτ-ῶν (cont. de ἑαυτῶν), gen. plur. de ἑαυτ-οῦ, ῆς, οῦ, pron. reflec. que como se ha dicho en otra parte carece de nom.

[13] Ὥστε, conj. compuesta de ὡς, *asi*, y τὶ, *y*.

(αὐτὸν) ἐπιθυμήσαντα[1] δυοῖν[2] (πραγμάτων)
él habiendo deséado de dos cosas,

τυχεῖν[3] μηδετέρας[4] (διαίτης).
tener ni uno ni otro alimento.
*dejo de tener* *uno y otro alimento.*

ἘΠΙΜΎΘΙΟΝ. Ὁ μῦθος δηλοῖ ὅτι
MORALIDAD. La fábula demuestra que

δεῖ ἡμᾶς καὶ ἀρκεῖσθαι[5] τοῖς
es menester nosotros tambien contentarse (con) los
*nos conviene* *estar contentos con*

(ἀγαθοῖς) ἑαυτῶν[6], λογιζομένους[7], ὅτι ἡ
bienes de ellos mismos, considerando, que la
*nuestros bienes propios*

πλεονεξία[8], πρὸς τῷ ὠφελεῖν[9] μηδὲν,
codicia, fuera de el servir nada,

---

1 Ἐπιθυμήσαντα, ac. sing. masc. de ἐπιθυμήσ-ας, ασα, αν, aor. 1. part. act. de ἐπιθυμέω, ήσω, *deseo, aspiro*; de ἐπὶ, *sobre*, y θυμὸς, *deseo, afecto.*

2 Δυοῖν, gen. plur. de δύο y δύω, número cardin.

3 Τυχεῖν, aor. 2. inf. act. de τυγχάνω.

4 Μηδετέρας, gen. sing. fem. del adj. μηδέτερ-ος, α, ον, de μηδὲ, *ni*, y ἕτερ-ος, α, ον, *uno y otro.*

5 Ἀρκεῖσθαι, inf. pres. med. de ἀρκέω, έσω.

6 Ἑαυτ-ῶν, gen. plur. masc. del pron. reflec. ἑαυτ-οῦ, ῆς, οῦ.

αὐτῶν διαίτης ἀπεῖρξαν, ὥστε δυοῖν ἐπιθυμήσαντα μηδετέρας τυχεῖν.

'ΕΠΙΜΥ'ΘΙΟΝ. 'Ο μῦθος δηλοῖ ὅτι δεῖ καὶ ἡμᾶς τοῖς ἑαυτῶν ἀρκεῖσθαι, λογιζομένους, ὅτι ἡ

---

por haber codiciado el grajo dos conveniencias, se vió privado de una y otra.

**Moralidad.** Esta fábula manifiesta, que debemos conformarnos con los bienes que nos caben en suerte, considerando que la codicia, ademas

---

Se usa este pronombre de la tercera persona en significacion de pronombre de la primera y segunda.

7 Λογιζομένους, ac. plur. masc. de λογιζ-όμενος, η, ον, pres. part. de λογίζομαι, fut. σομαι, que carece de forma act. y viene de λόγος de λέλεγα, perf. de λέγω, *digo*.

8 Πλεονεξία, nom. sing.; gen. πλεονεξίας (ἡ); de πλέον, *mas*, y de ἕξω, fut. 1. ind. act. de ἔχω, *tengo*.

9 Ὠφελεῖν (cont. de έειν), pres. inf. act. de ὠφελέω, ήσω, *sirvo*.

| | | | | |
|---|---|---|---|---|
| ἀφαιρεῖται[1] | καὶ | πολλάκις[2] | τὰ | (ἀγαθὰ) |
| quita | aun | á menudo | los | bienes |

| |
|---|
| προσόντα[3]. |
| presentes. |

---

## ΜΥ͂ΘΟΣ ΙΖʹ.

### FABULA XVII.

### ΚΌΡΑΞ ΚΑῚ Ὄ́ΦΙΣ.

### (EL) CUERVO Y (LA) CULEBRA.

| | | | | |
|---|---|---|---|---|
| Κόραξ[4] | ἀπορῶν[5] | τροφῆς, | ὡς[6] | κατεῖδεν[7] |
| (Un) cuervo, | careciendo | de alimento, | como | apercibió |

---

[1] Ἀφαιρ-εῖται (cont. de έεται), 3 pers. sing. de ἀφαιρέ-ομαι, med. de ἀφαιρέω, ήσω, *quito*.

[2] Πολλάκις, adv. de πολλὰ, plur. neut. de πολὺς, y de la terminacion adverbial κις.

[3] Προσ-όντα, ac plur. neut. de προσ-ὼν, οὖσα, ὀν, pres. part. act. de πρόσειμι; de πρὸς, *hácia*, y εἰμί, *soy ó estoy*.

[4] Κόραξ, nom. sing.; gen. ακος (ὁ).

[5] Ἀπορ-ῶν (cont. de έων), nom. sing. masc. del part. pres.

πλεονεξία, πρὸς τῷ μηδὲν ὠφελεῖν, ἀφαιρεῖται καὶ τὰ προσόντα πολλάκις.

---

de no ser de utilidad alguna, nos hace perder con frecuencia lo que poseemos.

---

## ΜΥ͂ΘΟΣ ΙΖʹ.

### ΚΌΡΑΞ ΚΑῚ ὌΦΙΣ.

Κόραξ, τροφῆς ἀπορῶν, ὡς κατεῖδεν ἔν τινι

---

## FABULA XVII.

### EL CUERVO Y LA CULEBRA.

Un cuervo careciendo de alimento, vió una

---

act. ἀπορ-έων, έουσα, έον, y cont. ῶν, οῦσα, οῦν de ἀπορέω, ήσω; de ἄπορ-ος (ὁ, ἡ), ον (τὸ), *falto.*

6 Ὡς, conj.

7 Κατεῖδεν (la ν agreg. por euf.), 3 pers. sing. de κατεῖδ-ον, ες, ε, aor. 2. ind. act. de καθοράω, fut. κατόψομαι (que toma tiempos de εἴδω); y se compone de κατὰ que significa movimiento de alto á bajo, y de ὁράω, fut. ὄψομαι, *veo.*

| | | | | |
|---|---|---|---|---|
| ὄφιν[1] | κοιμώμενον[2] | ἐν | τινι | τόπῳ |
| (una) culebra | durmiendo | en | cierto | lugar |

| | |
|---|---|
| εὐηλίῳ[3], | καταπτὰς[4] |
| bien expuesto al sol, | habiendo volado hacia abajo |

| | | | | |
|---|---|---|---|---|
| ἥρπασε[5] | τοῦτον. | Δὲ | τοῦ | (ὄφεως) |
| agarró | á esta. | Pero | la | culebra |

| | | | |
|---|---|---|---|
| ἐπιστραφέντος[6], | καὶ | δακόντος[7] | αὐτὸν |
| habiendo despertado, | y | habiendo mordido | a él |

| | | | |
|---|---|---|---|
| (ὁ κόραξ) | μέλλων[8] | ἀποθνήσκειν[9] | εἴρηκε[10]. |
| (el cuervo) | debiendo | morir | dijo: |

| | | | | |
|---|---|---|---|---|
| ἔγωγε[11] | δείλαιος[12], | ὅς | εὗρον[13] | τοιοῦτον |
| ¡oh, yo | desventurado, | que | hallé | tal |

---

[1] Ὄφ-ιν, ac. sing. de ὄφ-ις; gen. jónico ιος; át. εως de εος.

[2] Κοιμώμενον, ac. sing. masc. de κοιμώμεν-ος, η, ον, part. pres. med. de κοιμάω, ήσω; de κεῖμαι, *me tiendo.*

[3] Εὐηλίῳ, dat. sing. masc. del adj. εὐήλι-ος (ὁ, ἡ), ου (τὸ); de εὖ, *bien*, y ἥλι-ος, ου, *el sol.*

[4] Καταπτὰς, nom. sing. masc. de καταπτ-ὰς, ᾶσα, ὰν, aor. 2. part. act. de καθίπτημι ó καθίπταμαι mas usado; de κατὰ, de arriba hácia abajo, y de ἵπταμαι med. del des. ἵπτημι de πτάω.

[5] Ἥρπασε, 3 pers. sing. de ἥρπασ-α, ας, ε, aor. 1. act. de ἁρπάζω-άσω, ó άξω, ó άσομαι.

[6] Ἐπιστραφ-έντος, gen. masc. de ἐπιστραφ-είς, εῖσα, ἐν, aor. 1. part. med. de ἐπιστρέφω, έψω; de ἐπὶ, *sobre*, y στρέφω, *vuelvo.*

[7] Δακόντος, gen. sing. masc. de δακ-ὼν, οῦσα, ὀν, aor. 2. part. act. de δάκνω.

εὐηλίῳ τόπῳ ὄφιν κοιμώμενον, τοῦτον καταπτὰς ἥρπασε. Τοῦ δὲ ἐπιστραφέντος, καὶ δακόντος αὐτὸν, ἀποθνήσκειν μέλλων εἴρηκε· δείλαιος ἔγωγε,

culebra que dormia al sol, y lanzándose sobre ella la hizo presa. Pero esta despierta y lo muerde, y el cuervo entonces debiendo morir exclamaba: ¡Ay de mí desdichado, que en vez de un prove-

---

8 Μέλλων, nom. sing. masc. de μέλλων, ουσα, ον, part. de pres. act. de μέλλω, fut. μελλήσω, *he de ser, debo ser*.

9 Ἀποθνήσκειν, inf. pres. de ἀποθνήσκω, fut. θανοῦμαι; de ἀπὸ, *por*, y θνήσκω, fut. θνοῦμαι, *muero*.

10 Εἴρηκε, 3 pers. sing. de εἴρηκ-α, ας, ε, perf. act. del desus. ῥέω, fut. med. ῥε-ύσομαι, aor. ἔῤῥευσα tiempo de λέγω.

11 Ἔγωγε, nom. sing. masc. del pron. de la 1 pers. ἔγωγε, gen. ἐμοῦγε; de ἐγὼ (con la part. γε que le da fuerza). Este nominativo está tomado como un vocativo.

12 Δείλαιος, nom. sing. masc. del adj. δείλαι-ος, α, ον; de δειλ-ὸς, ή, ὸν, *timido, malhadado, infeliz*.

13 Εὗρον, 1 pers. sing. de εὗρ-ον, ες, ε, aor. 2. ind. act. de εὑρίσκω, fut. εὑρήσω; formado de εὑρέω que le presta tiempos.

ἕρμαιον[1], ἐξ οὗ καὶ ἀπόλλυμαι[2].
provecho, por el cual aun perezco!
que por él hasta perezco!

ἘΠΙΜΎΘΙΟΝ. Ὁ μῦθος (προσήκει) πρὸς
MORALIDAD. La fábula (se dirije) al

ἄνδρα κινδυνεύσαντα[3] ἐπὶ σωτηρίᾳ[4]
hombre habiendo arriesgado sobre su conservacion
que ha arriesgado su conservacion

διὰ εὕρεσιν[5] θησαυρῶν[6].
por la invencion de tesoros.
en solicitud

---

1 Ἕρμαιον, ac. sing. de ἕρμαιον y ἑρμαῖον, ου (τὸ), *presente enviado por Mercurio;* de Ἑρμ-ῆς, οῦ, *Mercurio, utilidad, provecho.*

2 Ἀπόλλυμαι, 1 pers. sing. de ἀπόλλυμαι pas. ó med. de ἀπόλλυμι, fut. ὀλέσω ó de ὀλέω, fut. ῶ; de ἀπὸ, *por,* y ὄλλυμι, *arruino, destruyo, mato.*

3 Κινδυνεύσαντα, ac. sing. masc. de κινδυνεύσ-ας, ασα, αν,

ὅς τοιοῦτον εὗρον ἕρμαιον, ἐξ οὗ καὶ ἀπόλλυμαι.

᾿ΕΠΙΜΥ´ΘΙΟΝ. Ὁ μῦθος πρὸς ἄνδρα διὰ θησαυρῶν εὕρεσιν ἐπὶ σωτηρίᾳ κινδυνεύσαντα.

---

cho he hallado mi muerte!

MORALIDAD. Esta fábula se dirije al hombre que aventura su existencia buscando un tesoro.

---

part. aor. 1. act. de κινδυνεύω, fut. εύσω; de κίνδυν-ος, ου, *riesgo*.

[4] Σωτηρίᾳ, dat. sing. de σωτηρί-α, ας (ἡ); de σώζω, fut. σώσω, *salvo, conservo*.

[5] Εὕρεσιν, ac. sing. de εὕρεσις, gen. εος, cont. εως (ἡ), de εὑρίσκω, *hallo*.

[6] Θησαυρῶν, gen. plur. de θησαυρ-ὸς, οῦ (ὁ); de τίθημι, fut. θήσω, *coloco*.

# ΜΥ͂ΘΟΣ ΙΗ'.

## FABULA XVIII.

## ΛΎΚΟΣ ΚΑῚ ΓΈΡΑΝΟΣ.

## (EL) LOBO Y (LA) GRULLA.

| | | |
|---|---|---|
| Ὀστέον[1] | ἐπεπήγει[2] | λαιμῷ[3] |
| (Un) hueso | se habia detenido | (en la) garganta |

| | | | | |
|---|---|---|---|---|
| λύκου[4]. | Δὲ | ὁ | εἶπεν | παρέξειν[5] |
| de un lobo. | Y | él | dijo | haber de dar<br>*que daria* |

| | | | |
|---|---|---|---|
| μισθὸν[6] | γεράνῳ[7], | εἰ | ἐπιβαλοῦσα[8] |
| (una) recompensa | (á una) grulla, | si | habiendo tirado |

---

[1] Ὀστ-έον, nom. sing. de ὀστ-έον, έου, y cont. ὀστ-οῦν, οῦ (τὸ). Este nombre es del número de aquellos, cuya terminacion precedida de las vocales ε ó ο se contracta, siguiendo en todos los casos las desinencias de la segunda declinacion á que corresponden, como terminados en ος y ον.

[2] Ἐπεπήγ-ει, 3 pers. sing. plusc. ind. act. de ἐπιπήγνυμι; de ἐπὶ, *contra, hácia,* y πήγνυμι de πηγνύω, fut. πήξω, *clavo, planto, fijo, pego;* de πήγω, desusado.

[3] Λαιμῷ, dat. sing. de λαιμ-ὸς, οῦ (ὁ).

## ΜΥ͂ΘΟΣ ΙΗ'.

### ΛΎΚΟΣ ΚΑῚ ΓΈΡΑΝΟΣ.

Λύκου λαιμῷ ὀστέον ἐπεπήγει· ὁ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐπι-

## FABULA XVIII.

### EL LOBO Y LA GRULLA.

Se le atravesó un hueso en la garganta á un lobo. — Ofrece á una grulla recompensarla, si

[4] Λύκ-ου, gen. sing. de λύκ-ος (ὁ).

[5] Παρέξ-ειν, fut. 1. inf. act. de παρέχω; de παρὰ, *cerca*, y de ἔχω, fut. ἕξω y ἐχήσω, *tengo.*

[6] Μισθ-ὸν, ac. sing. de μισθ-ὸς, οῦ (ὁ).

[7] Γεράν-ῳ, dat. sing. de γέραν-ος, ου (ἡ).

[8] Επιβαλ-οῦσα, nom. sing. fem. de ἐπιβαλ-ὼν, οῦσα, ὸν, aor. 2. part. act. de ἐπιβάλλω, fut. ἐπιβαλῶ; de ἐπὶ, *en*, y βάλλω, fut. βαλῶ, *disparo, arrojo.*

τὴν κεφαλὴν αὐτῆς, ἐκβάλοι[1] τὸ ὀστοῦν
la cabeza de ella, sacaba el hues(o)

ἐκ τοῦ λαιμοῦ αὐτοῦ. Δὲ ἡ γέρανος,
de la garganta de él. Y la grulla,

οὖσα[2] δολιχόδειρος[3], ἐκβαλοῦσα[4] (τοῦτο[5])
siendo pezcuecilarga, habiendo extraido este

(ὀστοῦν) ἐπεζήτει[6] τὸν μισθὸν (ἀπὸ
hueso reclamaba la recompensa del

λύκου) · ὅστις[7] γελάσας[8] θήξας[9]
lobo : quien habiendo reido ; habiendo aguzado
*reia* *aguzando*

τοὺς ὀδόντας[10]. Τοῦτο μόνον, ἔφη, ἀρκεῖ[11]
los dientes. Esto solo, dijo, es bastante

μισθὸς σοὶ, ὅτι ἐξῆρες[12] ἐκ τοῦ
recompensa para tí, que has sacado de la

---

[1] Ἐκβάλοι, 3 pers. sing de ἐκβάλ-οιμι, aor. 2. opt. act. de ἐκβάλλω, fut. ἐκβαλῶ; de ἐκ, *fuera*, y βάλλω, *arrojo*.

[2] Οὖσα, nom. sing. fem. de ὤν, οὖσα, ὄν, pres. part. de εἰμί, *soy*.

[3] Δολιχόδειρ-ος, nom. sing. fem. del adj. δολιχόδειρ-ος (ὁ, ἡ); de δολιχ-ὸς, *largo*, y δειρὴ, *pezcuezo*.

[4] Ἐκβαλ-οῦσα, nom. sing. fem. de ἐκβαλ-ὼν, οῦσα, ὸν, aor. 2. part. act. de ἐκβάλλω, αλῶ y αλήσω.

[5] Τοῦτο, ac. sing. neut. del pron. dem. οὗτος, αὕτη, τοῦτο.

[6] Ἐπεζ-ήτει (cont. de εε), 3 pers. sing. de ἐπεζήτ-εον, εες, εε, cont. ουν, εις, ει, imperf. ind. act. de ἐπιζητέω; de ἐπὶ, *sobre*, y ζητ-έω, ήσω, *busco*, *examino*, *discuto*.

βαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. Ἡ δὲ τοῦτ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει. Ὁ δὲ γελάσας, καὶ τοὺς ὀδόντας θήξας, ἀρκεῖ σοι μισθὸς, ἔφη, τοῦτο καὶ μόνον,

---

introduciendo la cabeza le extraiä el hueso. — La grulla siendo pezcuecilarga se lo sacó, y luego reclamaba la paga. — Pero el lobo se rie y crujiendo los dientes le responde: ¿ No es bastante recompensa para tí el hecho solo de haber sa-

---

7 Ὅστις, nom. sing. masc. del pron. rel. ὅστις, ἥτις, ὅτι; compuesto de ὅς, ἥ, ὅ, y τὶς, τὶ, que significa, *quien, cualquiera.*

8 Γελάσας, nom. sing. masc. aor. 1. part. act. de γελ-άω, άσω.

9 Θήξας, nom. sing. masc. aor. 1. part. act. de θήγω, ήξω. El perfecto pasivo de este verbo es τέθηγμαι.

10 Ὀδόντας, ac. plur. de ὀδ-οὺς, όντος (ὁ).

11 Ἀρκ-εῖ ( cont. de έει ), 3 pers. sing. del pres. de ind. act. de ἀρκέω, έσω, *ser suficiente.*

12 Ἐξῇρες, 2 pers. sing. de ἐξέαιρ-ον, ες, ε, cont. ἐξῇρ-ον, ες, ε, aor. 2 act. de ἐξαίρω; de ἐξ, *de*, y αἴρω, fut. ἀρῶ, *levanto.*

| | | | | | |
|---|---|---|---|---|---|
| στόματος[1] | καὶ | τῶν | ὀδόντων[2] | λύκου | τὴν |
| boca | y | de los | dientes | de (un) lobo | la |

| | | | |
|---|---|---|---|
| κάραν[3] | σώαν[4], | παθοῦσαν[5] | μηδέν. |
| cabeza | salva. | habiendo sufrido | nada. |

| | | | | |
|---|---|---|---|---|
| ἘΠΙΜΎΘΙΟΝ. | Ὁ | μῦθος | (προσήκει) | πρὸς |
| MORALIDAD. | La | fábula | se dirije | á |

| | | | | |
|---|---|---|---|---|
| τοὺς | ἄνδρας, | οἵ | τινες | διασωθέντες[6] |
| los | hombres, | los *que* | cuales | habiendo sido salvados |

| | | | | |
|---|---|---|---|---|
| ἀπὸ | κινδύνου[7] | ἀπονέμουσι[8] | τοιαύτας[9] | χάριτας[10] |
| de | (un) peligro | retribuyen | tales *así* | gracias |

| | | |
|---|---|---|
| τοῖς | εὐεργέταις[11] | (αὐτῶν). |
| á los | bienhechores | de ellos. |

---

[1] Στόμ-ατος, gen. sing. de στόμ-α (τὸ).
[2] Ὀδόντων, gen. plur. de ὀδ-οὺς, όντος (ὁ).
[3] Κάρ-αν, ac. sing. de κάρ-α, ας (ἡ).
[4] Σώαν, ac. sing. fem. del adj. σῶ-ος, α, ον; de σέος, *salvo.*
[5] Παθοῦσαν, ac. sing. fem. de παθ-ὼν, οῦσα, όν, aor. 2. part. act. de πάσχω, fut. πείσομαι, que toma tiempos de πάθω, des.
[6] Διασωθέντες, nom. plur. masc. de διασωθ-είς, εῖσα, έν, aor. 1. part. pas. de διασώζομαι de διασώ-ζω, ώσω; de διὰ, *por, de*, y σώζω, de σόος, *salvo.*

ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξῆρες κάραν σῶαν, μηδὲν παθοῦσαν.

ἘΠΙΜΥΘΙΟΝ. Ὁ μῦθος πρὸς ἄνδρας, οἵ τινες, ἀπὸ κινδύνου διασωθέντες, τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

---

cado la cabeza sana de entre los dientes de un lobo?

MORALIDAD. Esta fábula se dirije á los que, habiendo sido libertados del peligro, se conducen de un modo semejante para con sus bienhechores.

---

7 Κινδύν-ου, gen. sing. de κίνδυν-ος, ου (ὁ).

8 Ἀπονέμ-ουσι, 3 pers. plur. pres. ind. act. de ἀπονέμω, νεμῶ; de ἀπὸ (que significa reciprocidad en composicion) y νέμω, *distribuyo*.

9 Τοιαύτας, ac. plur. fem. del pron. τοιοῦτ-ος, τοιαύτ-η, τοιοῦτ-ο; de τοῖ-ος, α, ον, *tal*.

10 Χάριτας, ac. plur. de χάρ-ις, ιτος (ἡ).

11 Εὐεργέταις, dat. plur. de εὐεργέτ-ης, ου (ὁ); de εὖ, *bien*, y ἔργον, *trabajo*, *accion*.

## ΜΥ͂ΘΟΣ ΙΘʹ.

### FABULA XIX.

### ἜΛΑΦΟΣ ΚΑῚ ἌΜΠΕΛΟΣ.

### ( LA ) CIERVA Y ( LA ) VID.

| | | |
|---|---|---|
| Ἔλαφος [1] | φεύγουσα [2] | κυνηγοὺς [3] |
| Una ) cierva | huyendo | (de los ) cazadores |

| | | | | |
|---|---|---|---|---|
| ἐκρύβη [4] | ὑπὸ | ἀμπέλῳ [5]. | Δὲ | ἐκείνων [6] |
| fué escondida<br>*se escondió* | bajo | (una ) vid ; | pero | aquellos |

| | | | |
|---|---|---|---|
| παρελθόντων [7] | ὀλίγον [8], | ἡ | ἔλαφος, |
| habiendo pasado | ( un ) poco, | la | cierva, |

